8 Τάδε λέγει κύριος Ἀνθ᾽ ὧν εἶπεν Μωαβ Ἰδοὺ ὃν τρόπον πάντα 8
τὰ ἔθνη οἶκος Ισραηλ καὶ Ιουδα, 9 διὰ τοῦτο ἰδοὺ ἐγὼ παραλύω 9
τὸν ὦμον Μωαβ ἀπὸ πόλεων ἀκρωτηρίων αὐτοῦ, ἐκλεκτὴν γῆν,
οἶκον Ασιμουθ ἐπάνω πηγῆς πόλεως παραθαλασσίας. 10 τοῖς υἱοῖς 10
Κεδεμ ἐπὶ τοὺς υἱοὺς Αμμων δέδωκα αὐτοὺς εἰς κληρονομίαν, ὅπως
μὴ μνεία γένηται τῶν υἱῶν Αμμων· 11 καὶ εἰς Μωαβ ποιήσω ἐκδί- 11
κησιν, καὶ ἐπιγνώσονται διότι ἐγὼ κύριος.
12 Τάδε λέγει κύριος Ἀνθ᾽ ὧν ἐποίησεν ἡ Ιδουμαία ἐν τῷ ἐκδι- 12
κῆσαι αὐτοὺς ἐκδίκησιν εἰς τὸν οἶκον Ιουδα καὶ ἐμνησικάκησαν
καὶ ἐξεδίκησαν δίκην, 13 διὰ τοῦτο τάδε λέγει κύριος Καὶ ἐκτενῶ 13
τὴν χεῖρά μου ἐπὶ τὴν Ιδουμαίαν καὶ ἐξολεθρεύσω ἐξ αὐτῆς ἄνθρω-
πον καὶ κτῆνος καὶ θήσομαι αὐτὴν ἔρημον, καὶ ἐκ Θαιμαν διωκό-
μενοι ἐν ῥομφαίᾳ πεσοῦνται· 14 καὶ δώσω ἐκδίκησίν μου ἐπὶ τὴν 14
Ιδουμαίαν ἐν χειρὶ λαοῦ μου Ισραηλ, καὶ ποιήσουσιν ἐν τῇ Ιδου-
μαίᾳ κατὰ τὴν ὀργήν μου καὶ κατὰ τὸν θυμόν μου· καὶ ἐπιγνώ-
σονται τὴν ἐκδίκησίν μου, λέγει κύριος.
15 Διὰ τοῦτο τάδε λέγει κύριος Ἀνθ᾽ ὧν ἐποίησαν οἱ ἀλλόφυλοι 15
ἐν ἐκδικήσει καὶ ἐξανέστησαν ἐκδίκησιν ἐπιχαίροντες ἐκ ψυχῆς τοῦ
ἐξαλεῖψαι ἕως αἰῶνος, 16 διὰ τοῦτο τάδε λέγει κύριος Ἰδοὺ ἐγὼ 16
ἐκτενῶ τὴν χεῖρά μου ἐπὶ τοὺς ἀλλοφύλους καὶ ἐξολεθρεύσω Κρῆ-
τας καὶ ἀπολῶ τοὺς καταλοίπους τοὺς κατοικοῦντας τὴν παραλίαν·
17 καὶ ποιήσω ἐν αὐτοῖς ἐκδικήσεις μεγάλας, καὶ ἐπιγνώσονται διότι 17
ἐγὼ κύριος ἐν τῷ δοῦναι τὴν ἐκδίκησίν μου ἐπ᾽ αὐτούς.
1 Καὶ ἐγενήθη ἐν τῷ ἑνδεκάτῳ ἔτει μιᾷ τοῦ μηνὸς ἐγένετο λόγος 26
κυρίου πρός με λέγων 2 Υἱὲ ἀνθρώπου, ἀνθ᾽ ὧν εἶπεν Σορ ἐπὶ Ιε- 2
ρουσαλημ Εὖγε συνετρίβη, ἀπόλωλεν τὰ ἔθνη, ἐπεστράφη πρός με,
ἡ πλήρης ἠρήμωται, 3 διὰ τοῦτο τάδε λέγει κύριος Ἰδοὺ ἐγὼ ἐπὶ 3
σέ, Σορ, καὶ ἀνάξω ἐπὶ σὲ ἔθνη πολλά, ὡς ἀναβαίνει ἡ θάλασσα
τοῖς κύμασιν αὐτῆς. 4 καὶ καταβαλοῦσιν τὰ τείχη Σορ καὶ καταβα- 4
λοῦσι τοὺς πύργους σου, καὶ λικμήσω τὸν χοῦν αὐτῆς ἀπ᾽ αὐτῆς

8 κυριος: cf. 3 | μωαβ B pau.] + και σηειρ rel. (in *O* sub ※) | ιδου] + ουχ B*L* | οικος] pr. ο A || 9 απο πολεων] pr. απο των πολεων A = 𝔐 | ασιμουθ Ra. (cf. Ios. 12 3 Num. 33 49)] θασιμουθ B*†, εασιμουθ *L*; βε(uel βαι)θασιμουθ AQBᶜ (cf. Ios. 13 20): βαιθ et οικον praec. reddunt idem nomen hebr. | επανω πηγης] επαναγωγης B*† || 10 τοις υιοις Ra.] υιοις unus cod., τους υιους rel. | επι c. acc.: cf. Johannessohn Präp. p. 313 | αυτους V†] -την *L*, -τω BA | μνεια γεν.] tr. A | fin.] + εν τοις εθνεσιν A (in *O* sub ※) || 11 εις] εν A || 12 κυριος: cf. 3 | εν τω] του A || 13 κυριος: cf. 3 || 14 εκδικ. 1°] pr. την A | μου και κατα τον θυμον] του θυμου A || 15 κυριος: cf. 3 | αιωνος] ενος B*L* || 16 κυριος: cf. 3 | κρητας] κριτας σιδωνος A | παραλιαν] παραθαλασσιαν A: cf. 9 || 17 δουναι] + με A†

26 1 ενδεκατω] δωδεκ. A† | μηνος] + του πρωτου A pau. || 2 ων] ου B†: cf. 28 2 36 2 || 3 κυριος] pr. αδωναι A: item in 7, cf. 24 3 | τοις] pr. εν A || 4 καταβαλ. 2°] καθελουσιν A | λικμησουσιν A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/819 UNIVERSITÄT LEIPZIG